γεται νὴ Δί', ἔφη, ταῦτα. ¶ Τὰ δὲ Παλαμήδους οὐκ ἀκήκοας πάθη; τοῦτον γὰρ δὴ πάντες ὑμνοῦσιν, ὡς διὰ σοφίαν φθονηθεὶς ὑπὸ τοῦ Ὀδυσσέως ἀπώλετο. ¶ Λέγεται καὶ ταῦτα, ἔφη. ¶ Ἄλλους δὲ πόσους οἴει διὰ σοφίαν ἀναρπάστους πρὸς βασιλέα γεγονέναι, καὶ
34 ἐκεῖ δουλεύειν; ¶ Κινδυνεύει, ἔφη, ὦ Σώκρατες, ἀναμφιλογώτατον ἀγαθὸν εἶναι τὸ εὐδαιμονεῖν. ¶ Εἴγε μή τις αὐτὸ, ἔφη, ὦ Εὐθύδημε, ἐξ ἀμφιλόγων ἀγαθῶν συντιθείη. ¶ Τί δ' ἂν, ἔφη, τῶν εὐδαιμονικῶν ἀμφίλογον εἴη; ¶ Οὐδὲν, ἔφη, εἴγε μὴ προσθήσομεν αὐτῷ κάλλος ἢ ἰσχὺν ἢ πλοῦτον ἢ δόξαν ἢ καί τι ἄλλο τῶν τοιούτων. ¶ Ἀλλὰ νὴ Δία προσθήσομεν,
35 ἔφη· πῶς γὰρ ἄν τις ἄνευ τούτων εὐδαιμονοίη; ¶ Νὴ Δί', ἔφη· προσθήσομεν ἄρα ἐξ ὧν πολλὰ καὶ χαλεπὰ συμβαίνει τοῖς ἀνθρώποις· πολλοὶ μὲν γὰρ διὰ τὸ κάλλος ὑπὸ τῶν ἐπὶ τοῖς ὡραίοις παρακεκινηκότων διαφθείρονται, πολλοὶ δὲ διὰ τὴν ἰσχὺν μείζοσιν ἔργοις

quia diuersa est ratio. Vid. ad Cyrop. I, 4, 2. 17.

Παλαμήδους] Palamedes, quia detexit simulatam Vlyssis insaniam, in eius odium incurrit, et in proditionis crimen vocatus ab eo, lapidibus obrutus fuit ab exercitu. Vid. Serv. ad Virg. Aen. II, 90, et Hygin. c. 105. *Hindeb.*

ἀπώλετο] Iunt. et Stob. ἀπόλλυται.

βασιλέα] Nempe Persiae, quam Graeci βασιλέα simpliciter appellant. Ἀνάρπαστος proprie dicitur, qui repente et per vim abreptus in seruitutem, in ergastulum deprimitur, aut in carcerem coniicitur, aut in exilium mittitur. Egregie hanc vocem illustrat, non praeterito hoc loco, Doruillius ad Charit. p. 416. Sed Stobaeus editus habet ἀνασπάστους, quod non est a librario. *Ern.*

§. 34. ἀγαθὸν] Glossam sapit; quo deleto melior sit sententia: *res minime ambigua est felicitas. Ern.* Non assentior: nam quaeritur hic, quale *bonum* sit felicitas.

συντιθείη] Edd. vett. συντεθείη, Stob. συντεθῇ, sed ob εἰ coniunctiuus non habet locum: ob eandem causam nec ferri potest paulo post προσθήσωμεν, quod est ap. Stob. et in edd. vett., excepta Castalionea.

προσθήσομεν, ἔφη] Iunt. προσθήσομαι, ἔφη. perperam.

εὐδαιμονοίη] Stob. εὐδαίμων εἴη.

§. 35. παρακεκινηκότων] Ibid. παρακεκινημένων, quod glossema esse censeo vulgati, quod passiue solet adhiberi, vid. Budaei Comment. p. m. 762. Παρακινεῖν autem, scil. ἑαυτὸν, est pr. *mouere indecore et contra naturam.* Hinc sign. *furere, afflatu diuino agitari,* quia furibundi eiusmodi motu agitantur. Inde transfertur quoque ad eos, qui *prae amore furunt.*

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id375455116/268 gefördert von der Deutschen Forschungsgemeinschaft